UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Maximi Tyrii philosophumena

### Maximus

### Lipsiae, 1910

XVIII

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2966

Visual Library

Ed. Duebn. p. 95

# ΙΗ′

## XVIII (Duebn. XXIV vulg. 8)

κα′

## Τίς ἡ Σωκράτους ἐρωτική

α′

Ia *Κορινθίῳ ἀνδρί, ὄνομα Αἰσχύλῳ, παῖς ἦν Ἀκταίων,*
b *μειράκιον Δωρικόν, ὥρᾳ διαφέρον. Ἐρᾷ Ἀκταίωνος νεανίας Κορίνθιος, γένους τῶν Βακχιάδων· Βακχιάδαι*
c *δὲ Κορίνθου ἐδυνάστευον. Ὡς δὲ ἐσωφρόνει τὸ μειράκιον καὶ ὑπερεφρόνει ὑβριστοῦ ἐραστοῦ, ἐκώμασεν εἰς Ἀκταίωνος ὁ ἐραστὴς ὁμοῦ τοῖς Βακχιάδαις νεανίσκοις· οἱ θαρσοῦντες μέθῃ καὶ τυραννίδι καὶ ἔρωτι, εἰσπεσόντες εἰς τὸ δωμάτιον, οἱ μὲν ἐπειρῶντο ἀπάγειν, οἱ δὲ οἰκεῖοι κατέχειν· σπώμενον τὸ μειράκιον*
d *ὑπ᾽ ἀμφοῖν, βίᾳ διαφθείρεται ἐν χερσὶν αὐτῶν. Καὶ εἰκάσθη τὸ ἐν Κορίνθῳ τοῦτο πάθος τῷ Βοιωτίῳ διὰ τὴν ὁμωνυμίαν τῶν μειρακίων, ἀπολομένου ἑκατέρου,*

---

5 *Κορινθίῳ* sq. cf. Plut. am. narr. 2 | *Αἰσχύλῳ* paulo aliter rem enarrat Plutarchus l. l. ‖ 7 *νεανίας* quem *Ἀρχίαν* vocat Plutarchus ‖ 8 *ὡς δὲ* sq. cf. Plut. am. narr. 2 *ἐπεὶ δὲ πείθειν οὐκ ἠδύνατο τὸν παῖδα, ἔγνω βιάσασθαι καὶ συναρπάσαι τὸ μειράκιον, ἐπεκώμασεν ἐπὶ τὴν οἰκίαν τοῦ Μελίσσου*

---

Codices RMNα (= Stephanus) φ (= Paccius); H (teste Davisio)

---

8 *ἐσωφρόνει* — 9 *ἐραστοῦ* p

---

5 in mge *αἴσχῦλος* | *ἀκταίων* | *βακχιάδαι* (schol. recent.) R!

---

1 *ΙΗ′* R! ‖ 3 in mge *κα′* R! | *τίς* — *ἐρωτική α′* R adiecto (*λόγος*) *ή′* φ(α) *τοῦ αὐτοῦ τίς* sq. MN ‖ 5 *παῖς* i. e. amasius ‖ 7 *Βακχιαδῶν* α(δΔ) sed vi. p. 212. 15 *Ἀσκληπιάδων* ‖ 10 *Ἀκταίωνος* (ω in ras.) R! ‖ 13 *σπώμενον* ⟨*οὖν*⟩ *τὸ* Reiske

τοῦ μὲν ὑπὸ κυνῶν ἐν θήρᾳ, τοῦ δὲ ὑπὸ ἐραστῶν ἐν
μέθῃ. Περιάνδρῳ τῷ Ἀμβρακιώτῃ τυράννῳ παιδικὰ e
ἦν μειράκιον πολιτικόν· ἅτε δὲ οὐ σὺν δίκῃ τὴν ὁμι-
λίαν συστησαμένῳ ὕβρις ἦν τὸ χρῆμα, οὐκ ἔρως· θαρ-
σῶν δὲ ὁ Περίανδρος τῇ ἐξουσίᾳ παροινεῖ εἰς τὸ
μειράκιον. Ἡ δὲ παροινία αὕτη Περίανδρον μὲν ἔπαυ- f
σεν ὑβρίζοντα, τὸ δὲ μειράκιον ἐποίησεν ἐξ ἐρωμένου
τυραννοκτόνον. Αὕτη δίκη ἀδίκων ἐρώτων.

83b Βούλει σοι λέγω καὶ τοῦ ἑτέρου | τρόπου τῶν ἐρώ- IIa
των τοῦ δικαίου μίαν γέ τινα ἢ δευτέραν εἰκόνα;
Μειρακίῳ Ἀττικῷ δύο ἦσαν ἐρασταί, ἰδιώτης καὶ τύ- b
ραννος· ὁ μὲν δίκαιος ἦν διὰ ἰσοτιμίαν, ὁ δὲ ἄδικος
δι' ἐξουσίαν· ἀλλὰ τό γε μειράκιον ὄντως ἦν καλὸν c
καὶ ἐρᾶσθαι ἄξιον, ὥστε ὑπεριδὸν τοῦ τυράννου τὸν
ἰδιώτην ἠσπάζετο· ὁ δὲ ὑπ' ὀργῆς ἄλλά τε ἀμφοτέρους d
προὐπηλάκισεν, καὶ ἀδελφὴν Ἁρμοδίου Παναθηναίοις
ἥκουσαν ἐπὶ τὴν πομπὴν κανηφοροῦσαν ἐξήλασεν ἐπ'
ἀτιμίᾳ. Διδόασιν δίκην ἐκ τούτου Πεισιστρατίδαι, καὶ e
ἦρξεν ἐλευθερίας Ἀθηναίοις ὕβρις τυράννου, καὶ μει-
ρακίου θάρσος, καὶ ἔρως δίκαιος, καὶ ἐραστοῦ ἀρετή.

---

2 Περιάνδρῳ sq. cf. Plut. amat. 23 ‖ 4 ὕβρις ἦν τὸ χρῆμα, οὐκ ἔρως cf. Plut. amat. 23 ὕβρις τάδ', οὐχ ἡ Κύπρις, ἐξεργάζεται spectat autem uterque ἐρώτημα illud εἰ ἤδη κύει cf. Aristot. pol. 5 (1311a 40) ‖ 11 μειρακίῳ sq. vi. or. 35. 4 d cf. Plut. amat. 16 Lucian. paras. 48 Philostr. epist. 57 Aeschines Timarch. 144 Plat. symp. 182c Athen. XIII 602a

---

2 in mge Περίανδρος 16 Ἁρμόδιος | Παναθήναια 18 Πεισιστρατίδαι (schol. recent.) R!

---

2 Ἀμπρακιώτῃ MNα(δ) ‖ 4 συστησαμένῳ (υστ in ras.) R! ‖ 6 δὲ (ante παροινία) om. Δ° | Περίανδρον (ον in ras.) R! ‖ 7 ἐρομένου R ‖ 14 ὑπεριδὼν Nα(δ) quod def. Steph. Dav.[2] ‖ 15 ἀλλά τε Perizonius (ad Aelian. var. hist. XII 44) ἅμα τε Canterus Heins.

f Ἐλευθεροῖ τὰς Θήβας Ἐπαμεινώνδας ἀπὸ Λακεδαι-
g μονίων στρατηγήματι ἐρωτικῷ· μειρακίων πολλῶν κα-
λῶν ἐρασταὶ ἦσαν Θήβησιν πολλοὶ νεανίαι· ὅπλα δοὺς
Ἐπαμεινώνδας τοῖς ἐρασταῖς καὶ τοῖς ἐρωμένοις συν-
έταξεν λόχον ἱερὸν τοῦ ἔρωτος, δεινὸν καὶ ἄμαχον,
h καὶ συνασπίζοντα ἀκριβῶς, καὶ ἄρρηκτον· οἷον οὔτε ὁ
Νέστωρ περὶ τὸ Ἴλιον συνεστήσατο, ὁ δεινότατος τῶν
στρατηγῶν, οὔτε Ἡρακλεῖδαι περὶ Πελοπόννησον, οὔτε
i Πελοποννήσιοι περὶ τὴν Ἀττικήν. Ἔδει γὰρ ἕκαστον
τῶν ἐραστῶν ἀριστεύειν, καὶ διὰ φιλοτιμίαν ἐν ὄψει
τῶν παιδικῶν μαχόμενον, καὶ δι' ἀνάγκην ὑπερμαχοῦντα
k τῶν φιλτάτων· ἦν δὲ καὶ τὰ μειράκια ἐφάμιλλα ταῖς
ἀρεταῖς τοῖς ἐρασταῖς, ὥσπερ ἐν θήρᾳ σκύλακες συμ-
παραθέοντες τοῖς πρεσβυτέροις τῶν κυνῶν.

IIIa Τί δή μοι βούλεται ὁ Ἐπαμεινώνδας καὶ ὁ Ἁρμό-
b διος, καὶ οἱ περὶ τοῦ ἀδίκου ἔρωτος λόγοι; Ὅτι πρᾶγμα
διττόν, τὸ μὲν ἀρετῆς ἐπήβολον, τὸ δὲ μοχθηρίᾳ συμ-
πεφυκός, φωνῇ μιᾷ οἱ ἄνθρωποι ἐπονομάζοντες ἔρωτα,

---

**5** λόχον ἱερὸν cf. Dio Chrys. 22. 2 Athen. XIII 561 f. 602 a Plat. symp. 178 d Xenoph. conv. 8. 32 (dictum Pausaniae) ‖ **7** Νέστωρ .. δεινότατος τῶν στρατηγῶν scil. propter σύνεσιν cf. Dio Chrys. 2. 20; 56. 8 Themist. 13. 172 a Ps. Plut. vit. Hom. 165 ‖ **12** ἐφάμιλλα ταῖς ἀρεταῖς ut or. 15. 2 f vers. finem ‖ **16. 17** πρᾶγμα διττόν sq. cf. simil. Demosth. erot. 3 τοσοῦτον διημαρτηκότας πρὸς τὰ βέλτιστα κρίνειν, ὥστε διὰ τοὺς λυμαινομένους τῷ πράγματι καὶ πρὸς τοὺς μετὰ σωφροσύνης πλησιάζειν ἀξιοῦντας δυσκόλως

---

**1** in mge Ἐπαμινώνδας (sic) 7 Νέστωρ (schol. recent.) R! ‖ **3** Θήβησιν] in mge ὥσπερ Ἀθήνησιν οὕτω καὶ Θήβησιν (vet. schol. b R!) ‖ **5** ἄμαχον] in mge σημείωσαι (schol. recent.) R! ‖ **18** in mge ἔρως (schol. recent.) R!

---

**1** (et 4 et 15) Ἐπαμεινώνδας RN Ἐπαμινώνδας cett. (δΔ°) ‖ **4. 5** ξυνέταξεν Mα(δΔ°) ‖ **5** λόγον M ‖ **6** συνασπίζοντα (υν in ras.) R! | ἄρηκτον MN (suprascr. ρ al. man.) ‖ **12. 13** τὰς ἀρετὰς Dav.[2] om. MNα(ϑ) ‖ **17** ἐπίβουλον (suprascr. ο) N ‖ **18** οἱ ἄνθρωποι] τῶν ἀνθρώπων Duk. | ἐπονομάζουσι Steph.

οὑτωσὶ καλοῦντες ‖ καὶ τὸν θεὸν καὶ τὴν νόσον, | Ed. Duebn. p. 96
84a καλλωπίζονται μὲν οἱ μοχθηροὶ ἐρασταὶ διὰ τὴν πρὸς
τὸν θεὸν ὁμωνυμίαν, ἀπιστοῦνται δὲ οἱ χρηστοὶ διὰ
τὸ ἀμφίβολον τοῦ πάθους, ἀλλ' ὥσπερ τοὺς ἀργυρο-
γνώμονας ἐξετάζειν ἔδει, ὁπότερος αὐτῶν γνωριστικὸς
τοῦ δοκίμου καὶ μή. Τὸν μὲν πρὸ τοῦ δοκίμου τὸ c
φαινόμενον ἀσπαζόμενον πόρρω πάνυ τίθεμεν τῆς
τέχνης, τὸν δὲ τἀληθῆ αὐτὰ γνωρίζοντα, τοῦτον καὶ
συνιέναι αὐτῆς· ταύτῃ καὶ τὴν ἐρωτικὴν προσθῶμεν
φέροντες, ὥσπέρ τινι νομίσματι, τῇ τοῦ καλοῦ φύσει.
Ἐὰν γὰρ τούτου τὸ μὲν ᾖ φαινόμενον καλόν, οὐχ οὕ-
τως ἔχον, τὸ δὲ καλὸν καὶ ὂν καὶ φαινόμενον, ἀνάγκη
τοὺς μὲν τοῦ φαινομένου κάλλους καὶ μὴ ὄντος γλι-
χομένους νόθους τινὰς εἶναι καὶ κιβδήλους ἐραστάς,
τοὺς δὲ τοῦ καὶ ὄντος καὶ φαινομένου γνησίους ἐρα-
στὰς κάλλους ἀληθινοῦ.

*Εἶεν*· ἐπεὶ ταύτῃ βασανιστέον τὲ καὶ ἀθρητέον τὸν IV a

διακειμένους Plat. symp. 182 a 180 e *ἀναγκαῖον καὶ Ἔρωτα τὸν μὲν πάνδημον ... καλεῖσθαι, τὸν δὲ οὐράνιον* Lucian. am. 32, 37 vi. etiam or. 20. 3 a ‖ **18** (p. 218) *φωνῇ μιᾷ* vi. or. 19. 4 a

**1** *νόσον* vi. or. 19. 4 a vers. finem ‖ **4** *ὥσπερ τοὺς ἀργυρογνώμονας* sq. vi. or. 31. 2 c ‖ **6. 7** *τὸ φαινόμενον* sq. vi. or. 21. 4 g; 37. 4 e simil. de bono vi. or. 31. 2 a vers. finem cf. Plut. ap. Stob. flor. 6. 43, 45 ‖ **17** *βασανιστέον* sq. ut or. 1. 9 a

**4** *ἀλλ'* — **6** *δοκίμου* v ( : *ἀργυρογνώμονες*)

**4** *ὥσπερ ⟨εἰ⟩ τοὺς α(δΔ)* sed hypothesin nullam subesse efficitur cum sensu tum interpunctione antiqua *ὥσπερ εἰ δύο* Schenkl *ὥσπερ εἰ διττοὺς* Markl. *τοὺς* offendit etiam Duebn. ‖ **6** *τοῦ δοκίμου γνωριστικὸς* v | *μὲν* in ras. R! ‖ **7** *ἐτίθεμεν α(δΔ)* ‖ **9** *συνέναι* R!N (pr. man. uterque) ‖ **10** *τινα νομίσματα* Steph. ‖ **11** *γὰρ ⟨καὶ⟩ τούτου* Reiske | *οὕτως* (*ου* in ras.) R! ‖ **13** *φαινομένου ∸ κάλλους* R! ‖ **15** *φαινομέν, ου γνησίους* (sic) R! ‖ **17** *ἐπὶ* R!M*α* corr. Heins.[2] | *ἀρθρητέον* (*ἀρθροιτέον* H) codd. (ut *ὄρθριος* et *ὄρθιος* or. 17. 5 d et or. 23. 2 d) cf. etiam *ἐλῃρτούργησεν* pro *ἐλῃτούργησεν* 'armor' pro 'amor' al. de quibus adeas Meringer Mayer Versprechen u. Verlesen Stuttg. 1895 p. 188

ἐρωτικὸν καὶ λόγον καὶ ἄνδρα, ἐπιτολμητόν τοι καὶ περὶ Σωκράτους ἐκλογίσασθαι, τί ἦν αὐτῷ ταυτὶ τὰ θρυλούμενα ἐν τοῖς λόγοις; ὁποῖα ἄττα φησὶν περὶ αὑτοῦ ἐκεῖνος, ὅτι ἐστὶν θεράπων τοῦ ἔρωτος, καὶ λευκὴ στάθμη πρὸς τοὺς καλούς, καὶ τὴν τέχνην δει-
b νός. Ἀλλὰ καὶ διδασκάλους ἐπιγέγραπται τῆς τέχνης, Ἀσπασίαν τὴν Μιλησίαν, καὶ Διοτίμαν τὴν Μαντινικήν· καὶ μαθητὰς λαμβάνει τῆς τέχνης, Ἀλκιβιάδην τὸν γαυρότατον, καὶ Κριτόβουλον τὸν ὡραιότατον, καὶ Ἀγάθωνα τὸν ἁβρότατον, καὶ Φαῖδρον τὴν θείαν κεφαλήν, καὶ Λῦσιν τὸ μειράκιον, καὶ Χαρμίδην τὸν
c καλόν. Ἀποκρύπτεται δὲ οὐδὲν τῶν τοῦ ἔρωτος, οὔτε ἔργον, οὔτε πάθος, ἀλλὰ ἔοικεν πάντα ἑξῆς παρρησιαζομένῳ· πηδᾶν μὲν αὐτῷ τὴν καρδίαν ἐπὶ Χαρμίδῃ

---

1 *λόγον καὶ ἄνδρα* simil. *βίον καὶ ἄνδρα* or. 15. 1 a ‖ **4** *θεράπων* quod de ipso Amore dicit Plat. symp. 203 c ‖ **5** *λευκὴ στάθμη πρὸς τοὺς καλοὺς* e Plat. Charm. 154 b cf. Plut. proverb. 39 Eustath. 1531. 63 ‖ **5. 6** *τὴν τέχνην δεινός* cf. Plat. symp. 198 d *δεινὸς τὰ ἐρωτικὰ* Lucian. vit. auct. 15 ‖ **7** *Ἀσπασίαν* cf. Athen. V 219 d *κυνηγεῖ ὁ καλὸς Σωκράτης ἐρωτοδιδάσκαλον ἔχων τὴν Μιλησίαν* Synes. in Dion. 38 sed cf. Plat. Menex. 234 e *ᾧ τυγχάνει διδάσκαλος οὖσα οὐ πάνυ φαύλη περὶ ῥητορικῆς* sq. | *Διοτίμαν* vi. or. 38. 4 d ex Plat. symp. 201 d cf. Themist. 13. 162 a Lucian. imag. 18 Aristid. or. 46. 212 ‖ **8** *μαθητὰς . . Ἀλκιβιάδην* vi. or. 32. 8 b cf. Plat. symp. 213 sq. Themist. 13. 177 b ‖ **10. 11** *τὴν θείαν κεφαλήν* = or. 38. 4 g ex Plat. Phaedr. 234 d ‖ **11** *Χαρμίδην* cf. Themist. 13. 177 b ‖ **14** *πηδᾶν . . τὴν καρδίαν* ex Plat. symp. 215 e

---

**5** in mge *λευκὴ στάθμη* 7 *Ἀσπασία ἡ μιλησία . . Διοτίμα ἡ μαντινι|κή* (abscisis litt. *κή*) 8 *Ἀλκιβιάδης* | *Κριτόβουλος* | *Ἀγάθων* | *Φαῖδρος* | *Λῦσις* | *Χαρμίδης* (schol. recent.) R!

---

**1** *ἐπιτολμητέον* φ α(δ Δ) | *τοι*] *τι* HMN α(δ) ‖ **2** *περὶ* (ante *Σωκράτους*) om. N α(δ) ‖ **3** *θρυλλούμενα* ς (δ Δ°) ‖ **4** *αὐτοῦ* MN Duk. ‖ **7** *μαντικήν* M ‖ **9** *καὶ Κριτόβουλον* — 10 *ἁβρότατον* om. MN α(δ) ‖ **11** *Λύσιν* α(δ Δ) ‖ **13. 14** *παρησιαζομένῳ* R!

84b *καὶ ἥδειν τὸ σῶμα, | ἐπτοῆσθαι δὲ καὶ ἐνθουσιᾶν,*
*καθάπερ τὰς βάκχας, ἐπὶ Ἀλκιβιάδῃ· ἐπεστρέφθαι δὲ*
*ἐπ' Αὐτόλυκον τὰ ὄμματα, ὥσπερ ἐν νυκτὶ ἐπὶ φέγγος.*
*Πόλιν δὲ οἰκίζων ἀγαθῶν ἀνδρῶν, τιθεὶς νόμους τοῖς* d
*ἀριστεῦσιν οὐ στέφανον οὐδὲ εἰκόνας, τὰς Ἑλληνικὰς*
*φλυαρίας, δωρεῖται· ἀλλ' ἐξεῖναι φιλεῖν τῷ ἀρίστῳ,*
*εἰ δή τινα ἂν θέλῃ, τῶν καλῶν· ὢ τοῦ θαυμαστοῦ*
*γέρως. Αὐτὸς δὲ δὴ τὸν ἔρωτα, ἀναπλάττων ἐπ' αὐτῷ* e
*μῦθον, οἷον καὶ εἶναι λέγει, αἰσχρὸν ἰδεῖν, καὶ πένητα,*
*ἐγγυτάτω τῆς ἑαυτοῦ τύχης, ἀνυπόδητον, χαμαιεύνην,*
*ἐπίβουλον, θηρευτικόν, φαρμακέα, σοφιστήν, γόητα·*
*ἀτεχνῶς οἷα εἰς αὐτὸν Σωκράτην ἔσκωπτον ἐν Διο-*
*νυσίοις οἱ κωμῳδοί. Ἔλεγε δὲ ταῦτα μόνον οὐκ ἐν* f
*μέσοις τοῖς Ἕλλησιν, ἀλλὰ καὶ οἴκοι καὶ δημοσίᾳ, ἐν*

---

**1** *ἥδειν τὸ σῶμα* cf. Athen. V 219 c (vers. Aspasiae) *κἀγὼ ὅπως ἤκουσα, χαρᾶς ὕπο σῶμα λιπάνθη ἱδρῶτι* ‖ **2** *καθάπερ τὰς βάκχας* cf. Plat. Phaedr. 253 a | *ἐπὶ Ἀλκιβιάδῃ* vi. or. 32. 8 b cf. Aelian. var. hist. 4. 21 Plut. de fort. Alex. I 333 a Lucian. am. 48 dial. mort. 20. 6 Himer. ecl. X 7 soph. ap. Athen. XIII 566 d Cicer. Tusc. 4. 67 ‖ **3** *ἐπ' Αὐτόλυκον* cf. Xenoph. conv. I 9 ‖ **6** *ἐξεῖναι* sq. e Plat. republ. III 403 b cf. Lucian. vit. auct. 17 ‖ **9** *αἰσχρὸν ἰδεῖν* sq. cf. Plat. symp. 203 e sq. Themist. 162 d ‖ **13** *ἔλεγε* sq. cf. Xenoph. mem. I 1. 10 Dio Chrys. 54. 3; 60. 10

---

**3** *τὰ ὄμματα — φέγγος* p

**3** in mge *Αὐτόλυκος* (schol. recent.) R! ‖ **8** in mge *ποῖος ὁ ἔρως κατὰ Πλάτωνα* (schol. recent.) R!

---

**1** *ἥδειν* (= *ἥδεσθαι*? ut *νήχειν* iuxta *νήχεσθαι*, *σκοπεῖν* iuxta *σκοπεῖσθαι* al. cf. Dürr l. l. p. 33) codd. *οἰδεῖν* α(ϑ) *ἰδίειν* Boissonade (anecd. IV p. 430) (Duebn.) ‖ **2** *ἐπιστρέφεσθαι* Hα(δ) *ἐπεστράφθαι* Reiske (Duk.) ‖ **3** ⟨*ὁ δὲ ἐπ' αὐτὸν ἔστρεφε*⟩ *τὰ ὄμματα* p ‖ **5** *ἀριστεῦσιν* (*σι* in ras.) R quod defendit Boissonade (anecd. V 279) *ἀριστεύουσιν* cett. (δ Δ°) ‖ **6** *ἀρίστω* corr. ex *ἀριστεῖ* R! ‖ **12** *ἀτεχνῶς* (*νω* in ras.) R! ‖ **13** *μονονούκ* Heins. ‖ **14** *ἀλλὰ* del. Duebn. sed cf. Philostr. imag. 380. 10 *ἅμα* Hahn

συμποσίοις, ἐν Ἀκαδημίᾳ, ἐν Πειραιεῖ, ἐν ὁδῷ ὑπὸ
g πλατάνῳ, ἐν Λυκίῳ. Καὶ τὰ μὲν ἄλλα ἅπαντα ἀποποιεῖται εἰδέναι, καὶ τοὺς περὶ ἀρετῆς λόγους, καὶ τὰς περὶ θεῶν δόξας, καὶ τὰ ἄλλα ἅπαντα, ἐφ' οἷς οἱ σοφισταὶ ἐκόμων· τὴν δὲ ἐρωτικὴν τέχνην ὑποδύς, ταύτης καὶ ἐπιστήμων εἶναι, καὶ πραγματεύεσθαι περὶ αὐτὴν ἔλεγεν.

Va Τί βούλεται τῷ Σωκράτει ταυτὶ τὰ κομψά, εἴτε αἰνίγματα, εἴτε εἰρωνεύματα; ἀποκρινάσθω ἡμῖν ὑπὲρ τοῦ Σωκράτους Πλάτων, ἢ Ξενοφῶν, ἢ Αἰσχίνης, ἤ
b τις ἄλλος τῶν ὁμοφώνων αὐτῷ. Ἐγὼ μὲν γὰρ θαυμάζω καὶ ἐκπλήττομαι, ὅπως τὰ μὲν Ὁμήρου ἔπη τῆς
Ed. Duebn. p. 97 θαυ|μαστῆς πολιτείας καὶ τροφῆς τῶν νέων ἀπεπέμ-
παροιμία ψατο, αὐτῷ Ὁμήρῳ, στεφανώσας τὸν ποιητὴν καὶ χρί-
c σας μύρῳ· αἰτιασάμενος τὴν παρρησίαν τῶν ἐπῶν, ὅτι ὁ Ζεὺς πεποίηται αὐτῷ τῇ Ἥρᾳ μισγόμενος ἐν τῇ Ἴδῃ, νεφέλης αὐτοὺς καλυπτούσης ἀθανάτου, καὶ Ἄρεως καὶ Ἀφροδίτης συνουσία, | καὶ Ἡφαίστου δεσμά, καὶ 85a

---

2 τὰ μὲν ἄλλα sq. cf. Plat. symp. 177e Theag. 128b Xenoph. mem. II 6. 28 Themist. 13. 161c ‖ 8. 9 εἴτε αἰνίγματα, εἴτε εἰρωνεύματα ut or. 38. 4e ‖ 9 ἀποκρινάσθω ut or. 11. 6e; 7. 1d etiam or. 4. 2b; 5. 4f al. ‖ 10 Σωκράτης . . Πλάτων . . Ξενοφῶν . . Αἰσχίνης vi. or. 22. 6e ‖ 14 στεφανώσας sq. vi. or. 17. 3g ‖ 16 Ζεὺς πεποίηται τῇ Ἥρᾳ μισγόμενος sq. cf. Plat. republ. III 390b ‖ 17. 18 Ἄρεως καὶ Ἀφροδίτης sq. cf. Plat. republ. III 390c vi. etiam or. 4. 4d

---

2 καὶ τὰ — 3 εἰδέναι v (: ἀποποιεῖται)

---

12 in mge τί περὶ Ὁμήρου Πλάτων (schol. recent.) R!

---

2 Λυκείῳ δΔ | πάντα Να(δ) ‖ 5 ἐκώμων MN ‖ 10 ἢ (post Πλάτων) om. (man. ant. suprascr.) R! ‖ 14 ⟨ἐρίῳ⟩ στεφανώσας φ? Markl. (Duebn.) sed cf. Iosephum c. Apion. II 36 (p. 1386 Hudson) Dionys. Hal. ad Pomp. 786 R ‖ 17 Ἄρεος MN ‖ 18 Ἡφαίστου (αισ in ras.) R!

θεοὶ πίνοντες, καὶ γελῶντες θεοὶ ἄσβεστον γέλωτα, καὶ Ἀπόλλων φεύγων, καὶ Ἀχιλλεὺς διώκων,

(*X* 9) αὐτὸς θνητὸς ἐών, θεὸν ἄμβροτον,

καὶ ὀδυρόμενοι θεοί·

(*Π* 433) ὤμοι ἐγών, ὅτε μοι Σαρπήδονα φίλτατον ἀνδρῶν,

ὁ Ζεὺς λέγει· καὶ αὖθις αὖ,

(*Σ* 54) ὤμοι ἐγὼ δειλή, ὤμοι δυσαριστοτόκεια,

ἡ Θέτις λέγει· καὶ ὅσα ἄλλα ἐπὶ τούτοις Ὅμηρος μὲν
ᾐνίξατο, Σωκράτης δὲ ἐμέμψατο· αὐτὸς δὲ δὴ Σω- d
κράτης, ὁ ἐραστὴς μὲν σοφίας, πενίας δὲ κρείττων,
ἡδονῆς δὲ ἐχθρός, ἀληθείας δὲ φίλος, οὕτω σφαλεροὺς
καὶ κινδυνώδεις λόγους ταῖς αὐτοῦ ὁμιλίαις ἀνεκέρασεν,
ὥστε τὰ Ὁμήρου αἰνίγματα πόρρω πάνυ εἶναι τῆς
αἰτίας, τοῖς ἐκείνου παραβαλλόμενα. Αὐτίκα καὶ ὁ e
μὲν περὶ τοῦ Διὸς τοιαῦτα ἀκούσας, καὶ τοῦ Ἀπόλ-
λωνος, καὶ τῆς Θέτιδος, καὶ τοῦ Ἡφαίστου, καταμαν-
τεύεται τοῦ λόγου, ὡς φησὶ μὲν ταῦτα, ἕτερα δὲ
αἰνίττεται· καὶ παρεὶς τῇ ἀκοῇ τὸ τερπνόν, συναγωνί-
ζεται τῷ ποιητῇ, καὶ συνεξαίρεται τῇ φαντασίᾳ, καὶ
συναναπλάττει τὸν λόγον, ἀπιστῶν ὁμοῦ καὶ χαίρων
τῇ τῆς μυθολογίας ἐξουσίᾳ. Ὁ δὲ Σωκράτης ἡμῖν ἐπ' f

---

**1** *γελῶντες θεοὶ* cf. Plat. republ. III 389 a vi. etiam simil. or. 4. 4 b ‖ **2** *Ἀχιλλεὺς διώκων* = or. 23. 1 d vi. etiam or. 7. 6 b ‖ **4** *ὀδυρόμενοι θεοί* vi. or. 5. 5 c cf. Plat. republ. III 388 b *πολὺ δ' ἔτι τούτων μᾶλλον δεησόμεθα μήτοι θεούς γε ποιεῖν ὀδυρομένους καὶ λέγοντας ὤμοι ἐγὼ δειλὴ* sq. et c *αἲ αἲ ἐγών, ὅτε μοι Σαρπήδονα* sq.

---

**1** *καὶ γελῶντες* om. in mge add. man. eadem R! ‖ **5** (et 8) *ὦμοι* R! ‖ **8** *δειλή* in ras. R! ‖ **11** *μὲν τῆς σοφίας* α(θ) ‖ **12** *δὲ* (ante *φίλος*) om. suprascr. man. antiqua R! ‖ **13** *αὐτοῦ* α(θ) ‖ **15** *καὶ ὁ*] *γὰρ ὁ* Reiske (Duk. Duebn.) *ἕκαστος* Schenkl *καὶ* del. Markl.

*ἀληθείᾳ διατεθρυλημένος, ἐπισφαλέστερος ἐν οἷς αἰ-
νίττεται, διὰ τὸ ἀξιόπιστον μὲν ἐν τοῖς λόγοις, δυνα-*
g *τὸν δὲ τῇ μιμήσει, ἀνόμοιον δ' ἐν τοῖς ἔργοις. Οὐδὲν
γὰρ αὐτὸς αὑτῷ ὅμοιος ὁ Σωκράτης ἐρῶν τῷ σωφρο-
νοῦντι, καὶ ὁ ἐκπληττόμενος τοὺς καλοὺς τῷ ἐλέγχοντι
τοὺς ἄφρονας, ὁ Λυσίου τῶν ἐρωτικῶν ἀντίτεχνος, ὁ
Κριτοβούλου ἁπτόμενος, ὁ ἀπὸ κυνηγεσίου τῆς Ἀλκι-
βιάδου ὥρας παραγινόμενος, ὁ Χαρμίδην τεθηπώς.*
h *Πῶς γὰρ ὅμοια ταῦτα φιλοσόφῳ βίῳ; οὐ τῇ πρὸς τὸν
δῆμον παρρησίᾳ, οὐδὲ τῇ πρὸς τοὺς τυράννους ἐλευ-
θερίᾳ, οὐδὲ τῇ ἐπὶ Δηλίῳ ἀριστείᾳ, οὐδὲ τῇ | πρὸς* 85b
*τοὺς δικαστὰς ὑπεροψίᾳ, οὐδὲ τῇ ἐπὶ τὸ δεσμωτήριον
ὁδῷ, οὐδὲ τῇ πρὸς τὸν θάνατον παρασκευῇ· πολλοῦ*
i *γε καὶ δεῖ. Εἰ μὲν γὰρ ἀληθῆ ταῦτα, εὐφημεῖν ἄξιον·
εἰ δὲ αἰνίττεται δι' αἰσχρῶν ῥημάτων πράξεις καλάς,
δεινὸν καὶ σφαλερὸν τὸ χρῆμα. Τὸ γὰρ ὑποβαλεῖν
αἰσχρῷ καλόν, καὶ τὰ ὠφελοῦντα διὰ τῶν βλαπτόντων
ἐπιδείκνυσθαι, οὐκ ὠφελοῦν βουλομένου ἔργον (τὸ γὰρ
ὠφελοῦν ἀφανὲς) ἀλλὰ βλάπτειν· πρόχειρον γὰρ τοῦτο.*

---

**6** *ὁ Λυσίου τῶν ἐρωτικῶν ἀντίτεχνος* cf. Plat. Phaed. 60 d *ὅτι οὐκ ἐκείνῳ* (Eueno) *βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα* ‖ **7** *Κριτοβούλου* sq. cf. Xenoph. conv. IV 28 | *ἀπὸ κυνηγεσίου* sq. e Plat. Protag. 309 a etiam symp. 213 b ‖ **8** *ὁ Χαρμίδην τεθηπώς* cf. Plat. Charm. 154 b ‖ **9. 10** *τῇ πρὸς τὸν δῆμον παρρησίᾳ* cf. Plat. apol. 32 a ‖ **10** *τῇ πρὸς τυράννους ἐλευθερίᾳ* cf. Plat. apol. 32 c ‖ **11** *τῇ ἐπὶ Δηλίῳ ἀριστείᾳ* cf. Plat. symp. 219 e

---

**1** *διατεθρυλημμένος* R *διατεθρυλλημένος* cett. (δ Δ°) ‖ **2** ⟨*καὶ*⟩ *διὰ* MN α(δ) ‖ **2. 3** *δυνατὸν δὲ τῇ μιμήσει*] *δυνατὸν δ' ἐν τῇ μιμήσει* Duk. *συνετὸν δ' ἐν τῇ νοήσει* Markl. ‖ **4** *Σωκράτης ὁ ἐρῶν* Reiske ‖ **6** *ἀντίτεχνος* (o in ras.) R! ‖ **18** *ὠφελοῦν*] *ὠφελεῖν* ς(δ Δ) sed vi. similem variationem or. 5. 4 h *εἰ μὲν ἀνύτει τι . . . εἰ δὲ ἐπισφαλές*

*Ταῦτα οἶμαι Θρασύμαχον ἂν εἰπεῖν, ἢ Καλλίαν, ἢ* k *Πῶλον, ἢ ὅστις ἄλλος τῇ Σωκράτους φιλοσοφίᾳ ἐπολέμει.*

*Φέρ᾽ ἐπαμύνωμεν τῷ λόγῳ, μὴ εἰκαῖα φλυαρῶμεν.* VIa *Καὶ δή μοι δοκῶ βούλεσθαι μὲν ταῦτα, δύνασθαι δὲ ἧττον· χρὴ δὲ ὁμοῦ τῷ βούλεσθαι καὶ δύνασθαι. Ὧδε* b *τοίνυν δράσωμεν περὶ ῥᾳστώνην τοιαύτην τῷ λόγῳ, ‖ οἵαν καὶ εἰς τὰ δικαστήρια εἰσαγγελλόμενοι ἢ κιν-* Ed. Duebn. p. 98 *δυνεύοντες· οὐ περὶ τοῦ πράγματος ἀπολογοῦνται μόνον, ὑπὲρ ὅτου ἡ εἰσαγγελία ἐγένετο, ἀλλ᾽ ἠρέμα εἰς ἄλλους ἀξιοχρεωτέρους τρέπουσι τὴν αἰτίαν, τῇ πρὸς ἐκείνους κοινωνίᾳ κατασμικρύνοντες τὰ αὐτῶν. Οὐ-* c *κοῦν καὶ ἡμεῖς περὶ Σωκράτους, εἰ μὲν ὀρθῶς ταῦτα ἔδρα ἢ μή, σκοπεῖν ἀναθησόμεθα σμικρόν, ὅσον τὸ νῦν ἔχον· λέγωμεν δὲ ὡδὶ πρὸς τουτουσὶ τοὺς δεινοὺς κατηγόρους· ὅτι ‘ἡμῖν δοκεῖτε, ὦ ἄνδρες, ἀτοπώ-* d

---

**1** *Θρασύμαχον .. Καλλίαν .. Πῶλον* vi. or. 26. 5 g *τοῦτον* sq. cf. Epict. diss. IV 5. 3 ‖ **6** *ὁμοῦ τῷ βούλεσθαι καὶ δύνασθαι* vi. or. 38. 6 d ‖ **13** *εἰ μὲν ὀρθῶς* sq. vi. or. 3. 3 a ‖ **16.** p. 226. 1 *ἀτοπώτεροι συκοφάνται Ἀνύτου καὶ Μελήτου* vi. or. 3. 1 b *ἀλλὰ πικροτέρους* sq.

---

**1** in mge *θρασύμαχος* | *καλλίας* | *πῶλος* (schol. recent.) R! ‖ **10** in mge *εἰσαγγελία* (schol. recent.) R! ‖ **16** in mge *σημείωσαι: ἀνύτου καὶ μελήτου ὑμεῖς δοκεῖτε ἀτοπώτεροι εἶναι συκοφάνται* (verbo *ἀτοπώτεροι* al. man. suprascriptum *ἔστι μωρὸς*) (schol. recent.) R!

---

**1** *ἂν* (ante *εἰπεῖν*) om. Δ° add. Markl. | *Καλλίαν*] *Καλλικλέα* Markl. (Duk.) ‖ **4** *εἰκαῖα* Hob. *ἱκανὰ* codd. (δΔ°) quod idem valere ac *συχνὰ* arbitratus defendit Schenkl *κενὰ* Reiske (Duebn.) ‖ **7** *δράσωμεν* del. Dav.[2] | *περι⟨ποιοῦντες (ποιούμενοι, ποιῶμεν)⟩ ῥᾳστώνην* Steph. (Duk., Reiske) *πράσσωμεν ῥᾳστώνην* Dav.[2] | *τοσαύτην* (vel *ταύτην*) Markl. | *τῶν λόγων* Markl. (Duebn.) ‖ **8** *οἷα* Schenkl *οἷον* Markl. (Duebn.) *οἵαν ⟨περιποιούμενοι⟩* Reiske | *καὶ οἱ εἰς* H et ita Steph. (Δ) | *ἢ*] *οἳ* Steph. (Δ) et ita Schenkl ‖ **10** *ἠρέμαι* R! ‖ **12** *τὰ αὐτῶν* α(δΔ) *τὰς αὐτῶν* Reiske ‖ **14** *ὅσον ⟨γε⟩ τὸ* Markl. ‖ **16** *ὅτι* om. α(δ)

e τεροι εἶναι συκοφάνται Ἀνύτου καὶ Μελήτου· ἐκεῖνοι μέν γε ἀδικεῖν γραψάμενοι Σωκράτην, καὶ τοὺς νέους διαφθείρειν, καὶ ὅτι μὲν Κριτίας ἐτυράννησεν, τοῦτο ἀδικεῖν ἔλεγον τὸν Σωκράτην, καὶ ὅτι Ἀλκιβιάδην ἐᾷ ὑβρίζειν, καὶ ὅτι τὸν ἥττω λόγον κρείττω ποιεῖ, καὶ f ὀμνύει τὴν πλάτανον καὶ τὸν κύνα· τῶν δὲ ἐρωτικῶν τῶν Σωκράτους ἀπέ|σχοντο καὶ οἱ δεινοὶ οὗτοι συκο- 86a g φάνται· ἀλλ' οὐδὲ Ἀριστοφάνης τὰ Σωκράτους ἐν Διονυσίοις κωμῳδῶν, ὁ δεινότατος τῶν κατηγόρων, ἐλοιδορήσατο τῷ ἔρωτι τοῦ Σωκράτους· καίτοι πένητα εἰπών, καὶ ἀδολέσχην, καὶ σοφιστήν, καὶ πάντα μᾶλλον h ἢ κακῶς ἐρῶντα. Οὐ γὰρ ἦν, ὡς ἔοικεν, τὸ πρᾶγμα οὔτε τοῖς συκοφάνταις, οὔτε τοῖς κωμῳδοῖς ἐπιλήψιμον.

(VII) Διὸ δὴ τὸ μὲν Ἀθηναίων θέατρον καὶ τὸ δικαστήριον ἐκεῖνο διαπέφευγεν· πρὸς τουτουσὶ δὲ τοὺς νυνὶ κατηγόρους (οὐ γάρ εἰσιν ἐκείνων ἀμαχώτεροι) a διαγωνισώμεθα τὸ πρῶτον τῇδε· ὡς οὐκ ἴδιον Σωκράτους τὸ ἐρωτικὸν ἐπιτήδευμα, ἀλλὰ μακρῷ πρεσβύτερον· μάρτυρα δὲ αὐτὸν Σωκράτην παραστησώμεθα,

---

**3** *ὅτι Κριτίας ἐτυράννησεν . . ὅτι Ἀλκιβιάδην ἐᾷ ὑβρίζειν* cf. Xenoph. mem. I 2. 12 ‖ **5** *τὸν ἥττω λόγον κρείττω ποιεῖ* cf. Plat. apol. 18b ‖ **6** *ὀμνύει* sq. cf. Lucian. vit. auct. 16 | *τῶν ἐρωτικῶν . . ἀπέσχοντο* sq. simil. Athen. XIII 556a *ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον ὅθεν καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἀποσιωπῆσαι τοῦτο, πολλάκις τοῦ Σωκράτους μνημονεύοντας* ‖ **9** *ὁ δεινότατος* sq. cf. Plat. apol. 18b *ἀλλ' ἐκεῖνοι δεινότεροι* sq.

---

**8** in mge *Ἀριστοφάνης* (schol. recent.) R!

---

**1** *Μελίτου* φα(δΔ°) ‖ **2** *μὲν* R!N ‖ **3** *ἐτυράννευσε* M(ϑ) ‖ **4** *Ἀλκιβιάδης* Δ (tacite) ‖ **4. 5** *ἐᾷ ὑβρίζειν* Hob. *ἐξύβριζεν* codd. (δΔ) ‖ **7** *καὶ οἱ*] *καίτοι* Reiske ‖ **14** *θέατρον* (ον in ras.) R! ‖ **16** *οὐ γάρ*] *καὶ γάρ* Markl. | *ἀμαχώτεροι* RH *ἀμαχότεροι* cett. Heins.

*ἐπαινοῦντα μὲν τὸ ἔργον καὶ θαυμάζοντα αὐξανό⟨μενον,*
*ἀπαρνού⟩μενον δὲ αὐτοῦ τὴν εὕρεσιν. Ἐπιδειξαμένου* b
*γὰρ αὐτῷ τοῦ Μυρινουσίου Φαίδρου λόγον ὑπὸ Λυσίου*
*τοῦ Κεφάλου συγγεγραμμένον ἐρωτικόν, οὐκ ἔφη θαυ-*
*μάζειν, πλῆρες τὸ στῆθος ἔχων ὥσπερ ἀγγεῖον, ἀλλοτρίων*
*ναμάτων, ἤπου Σαπφοῦς τῆς καλῆς (οὕτω γὰρ αὐτὴν*
*ὀνομάζων χαίρει διὰ τὴν ὥραν τῶν μελῶν, καίτοι μι-* CH
*κρὰν οὖσαν καὶ μέλαιναν) ἢ Ἀνακρέοντος, φησίν, τοῦ*
*σοφοῦ. Τὸν δὲ ἐν τῷ συμποσίῳ λόγον, εἰς ἔρωτα* c
*ἔπαινον, Μαντινικῇ γυναικὶ ἀνατίθησιν· ἀλλὰ εἴτε* d
*Μαντινική, εἴτε καὶ Λεσβία τὶς ἦν ἡ τοῦ λόγου μήτηρ,*
*πάντως γε οὐκ ἴδιοι οἱ τοῦ Σωκράτους ἐρωτικοὶ λόγοι,*
*οὐδὲ πρώτου· θεασώμεθα γὰρ οὕτως, ἀπὸ Ὁμήρου*
*ἀρξάμενοι.*

*Οὗτος γάρ μοι δοκεῖ πολυφωνότατος ὢν καὶ δεινὸς* VIIIa
*ὁμοῦ τοῖς καλοῖς τὰ αἰσχρὰ ἱστορεῖν, τὰ μὲν ὅπως*

---

**5** *πλῆρες τὸ στῆθος ἔχων ὥσπερ ἀγγεῖον* e Plat. Phaedr. 235 c ‖ **6** *Σαπφοῦς τῆς καλῆς . . . ἢ Ἀνακρέοντος τοῦ σοφοῦ* ex Plat. Phaedr. 235 c cf. Themist. 13. 170 d ‖ **10** *Μαντινικῇ γυναικὶ* e Plat. symp. 201 d ‖ **16** *τοῖς καλοῖς τὰ αἰσχρὰ* sq. vi. or. 26. 5 b sq. ‖

---

**5** *πλῆρες* — 8 *μέλαιναν* p

---

**3** in mge *φαῖδρος* | *λυσίας* 8 *ἀνακρέων* (schol. recent.) R! ‖ **6** in mge *σημείωσαι σαπφὼ ἡ καλή* (schol. rec.) R! 7 in mge *σημείωσαι* M ‖ **15** in mge *σημείωσαι περὶ τῶν παρ᾽ ὁμήρῳ ἐρωτικῶν* (schol. recent.) R!

---

**1. 2** *αὐξανό⟨μενον, ἀπαρνού⟩μενον* (vi. p. 234. 14) Hob. *αὐξανόμενον* codd. *ἐξαρνούμενον* Schenkl cum Dav.[2] (qui et *ἀναινόμενον*) *ἐξομνύμενον* Markl. (Duebn.) ‖ **3** *Μυρινουσίου* (suprascr. *ν* man. ant.) R! *Μυρηνουσίου* MNφ *Μυρρινουσίου* α(δΔ) ‖ **4** *συγγεγραμμένου* RN ‖ **5** *ἔχειν φησὶν* n *ἔχειν* Markl. | *ἀλλοτρίων* (*ιων* in ras. ex *ιον*) R! ‖ **6** *ἤπου* α(δΔ°) ‖ **7** in mge CH(ΜΕΙΩCΑΙ) (schol. vet. u) R! ‖ **9** *λόγον*] *λεγόμενον* Reiske | ⟨*τὸν*⟩ *εἰς* φα(δ) ‖ **10** *μαντικῇ* MN | *εἴτε* in ras. R! ‖ **12** *οἱ τοῦ*] *τοῦ* α(δΔ) *αὐτοῦ τοῦ* Schenkl | *Σωκράτους* (*τους* in ras.) R! | ⟨*οἱ*⟩ *ἐρωτικοὶ* α(ϑ)

ἔχωμεν, τὰ δὲ ὅπως φεύγωμεν, τὰ μὲν ἄλλα εὐήθως
πάνυ καὶ ἀρχαίως ἐκδιδάσκειν ἰδέσθαι, καὶ ἡ|νιοχεῖν, 86b
καὶ τάττειν στράτευμα· ἐν νύσσῃ μὲν παραινῶν ἐγ-
χριμφθῆναι τὸν ἐπὶ λαιᾷ ἵππον, κυκεῶ δὲ Πραμνίου
διδοὺς τοῖς κάμνουσιν, τοὺς δὲ κακοὺς ἐν μέσῳ τάττων
τῶν ἀγαθῶν, καὶ τοὺς ἱππεῖς διακρίνων τῶν πεζῶν·
b ἢ γὰρ ἂν γέλωτα ὄφλοι τὰ σοφὰ ταῦτα τοῖς νῦν
c τακτικοῖς καὶ ἰατροῖς καὶ ἡνιόχοις· τὰ δὲ τοῦ ἔρωτος
πάντα ἑξῆς δίεισιν, καὶ ἔργα, καὶ ἡλικίας, καὶ εἴδη,
καὶ πάθη, τὰ καλά, τὰ αἰσχρά, τὸν σώφρονα ἔρωτα,
τὸν ἀκόλαστον, τὸν δίκαιον, τὸν ὑβριστήν, τὸν ἐπι-
Ed. Duebn. p. 99 μανῆ, τὸν ‖ πρᾶον· καὶ ἐστὶν ἐν τοιούτοις οὐκέτι
ἀρχαῖος, ἀλλὰ τεχνίτης δεινῶς,

(*E* 304) οἷοι νῦν βροτοί εἰσιν.

d Αὐτίκα ἐν πρώτῳ λόγῳ ἐπὶ αἰχμαλώτῳ ἐρασταὶ δύο,
ὁ μὲν θρασὺς καὶ ἐπιμανής, ὁ δὲ ἥμερος καὶ ἐμπαθής·

---

**3** *τάττειν στράτευμα* cf. Ps. Plut. vit. Hom. 192 Iulian. II 53 c Dio Chrys. 55. 19 ‖ **4** *Πραμνίου* sq. cf. Ps. Plut. vit. Hom. 106 Plat. Ion. 538 c Athen. I 10 a ‖ **5** *κακοὺς* sq. cf. Ps. Plut. vit. Hom. 193 Dio Chrys. 56. 8 vi. etiam or. 10. 6 b *ἱππῆας μὲν* sq. ‖ **15** *ἐρασταὶ δύο* scil. Achilles et Agamemnon vi. or. 26. 5 c

---

**13** in mge *ἀρχαῖος* (schol. recent.) R!

---

**1** *ἔχομεν* N *ἕλωμεν* Canterus *διώκωμεν* Markl. *ἐρῶμεν* (vel *ἑλώμεθα*) Reiske ‖ **2** *ἐκδιδάσκει* Duk. | *ἰδέσθαι* (*ειδεσθαι* R)] *ἰᾶσθαι* Dav.[1] (Duebn.) *ἰατρεύεσθαι* Steph. sed coniungendum *ἐκδιδάσκειν ἰδέσθαι* ut *θαῦμα ἰδέσθαι* al. et ita vertit Pacc. („is cum alia omnia simpliciter admodum atque antiqua ruditate docere videatur: ut est aurigari, ut exercitum ordinare" σ[2]) ‖ **3** *νύσῃ* (suprascr. σ) R! ‖ **3. 4** *ἐγχριφθῆναι* MNα ‖ **4** *Πραμνίου* (*ου* in ras.) R! ‖ **9** *δεισιν* R *δῦσι* M *δύσῃ* N ‖ **10** *καλὰ* ⟨*καὶ*⟩ *τὰ* α(δ) ‖ **12** *ἐν τοῖς τοιούτοις* MNα(δ) *τοῖς τοιούτοις* ϑ ‖ **13** *δεινός* M α(δΔ) ‖ **14** *εἰσ'* Homerus ‖ **15** *αἰχμαλώτῳ* (*αἰχμ-* in ras.) R! ‖ **16** *ἐπιμανής* (*ιμ* in ras.) R! | *ἐμπαθής*] *εὐπαθής* Combes

ὁ μὲν ἀποφλογοῦται τὰ ὄμματα, καὶ λοιδορεῖται πᾶσιν καὶ ἀπειλεῖ· ὁ δὲ ἀναχωρεῖ ἐφ' ἡσυχίας, καὶ δακρύει κείμενος, καὶ ἀλύει, καὶ ἀπελεύσεσθαι φησίν, καὶ οὐκ ἄπεισιν. Ἄλλη εἰκὼν ἀκολάστου ἔρωτος· τοιοῦτος αὐτῷ e ὁ Ἀλέξανδρος, οἷος ἐκ μάχης ἐπανεῖναι εἰς τὸν θάλαμον καὶ ἀεὶ μοιχῷ ἐοικέναι. Ἔστιν αὐτῷ καὶ δίκαιος f ἔρως παρ' ἀμφοῖν ἴσος οἷον τῆς Ἀνδρομάχης καὶ τοῦ Ἕκτορος· ἡ μὲν πατέρα καὶ ἀδελφὸν καλεῖ τὸν ἄνδρα καὶ ἐραστήν, καὶ πάντα δὴ τὰ φίλτατα ὀνόματα· ὁ δὲ οὔτε μητρὸς τοσουτονὶ αὐτῷ μέλειν, ὅσον ἐκείνης, λέγει. Ἔδειξεν καὶ τὸν χαμαιεύνην ἔρωτα ἐπὶ τῆς Ἥρας καὶ g τοῦ Διός· καὶ τὸν ὑβριστὴν ἐπὶ τῶν μνηστήρων· καὶ τὸν γόητα ἐπὶ τῆς Καλυψοῦς· καὶ τὸν φαρμακέα ἐπὶ τῆς Κίρκης· καὶ τὸν ἀνδρεῖον ἐπὶ τῷ Πατρόκλῳ, τὸν πόνῳ κτητὸν καὶ χρόνῳ, καὶ μέχρι θανάτου προερχόμενον, νέων καὶ καλῶν ἀμφοτέρων, καὶ σωφρόνων,
87a τοῦ μὲν παιδεύοντος, τοῦ δὲ παι|δευομένου· ὁ μὲν ἄχθεται, ὁ δὲ παραμυθεῖται· ὁ μὲν ᾄδει, ὁ δὲ ἀκροᾶται· ἐρωτικὸν δὲ καὶ τὸ τυχεῖν ἐθέλοντα ἐξουσίας πρὸς h

---

5 Ἀλέξανδρος vi. or. 30. 5 c ‖ **11** τὸν χαμαιεύνην ἔρωτα vi. or. 18. 5 c ὅτι ὁ Ζεὺς sq. ‖ **14** τὸν ἀνδρεῖον ἐπὶ τῷ Πατρόκλῳ cf. Lucian. am. 54 Plat. symp. 180 a Xenoph. conv. 8. 31 Sext. Emp. hyp. III 24. 176 Hug ad Plat. l. l. ‖ **16** νέων καὶ καλῶν sq. spectat Phaedri argumentationem ap. Plat. symp. 180 a

---

**1** ὁ μέν ἀποφλογοῦται — πᾶσιν v (: φλογοῦται)

---

**5** ὁ (ante Ἀλέξανδρος) om. Nα(δΔ°) | ἐπανιέναι δΔ (tacite) sed vi. or. 12. 6 a ἐπεξεῖναι or. 17. 1 d ἀπεῖναι al. ‖ **7** οἷον] οἷος Schenkl Meiser οἷον ⟨ὁ⟩ Markl. (Duebn.) ‖ **10** οὔτε μητρὸς ⟨οὔτε πατρὸς⟩ τοσουτονὶ Knebel Meiser | αὐτῷ α(δΔ°) ‖ **11** ἔδειξεν (εν in ras.) R! | χαμεύνην N (in mge corr.) α(δΔ°) ‖ **12** τὸν ὑβριστὴν — **13** ἐπὶ τῆς om. M ‖ **15** καὶ (ante μέχρι) om. MNα(δ) ‖ **18** παραμυθεῖται in ras. R! παραμυθεῖ α(δ) ‖ **19** καὶ in ras. R!

μάχην δακρῦσαι ὡς οὐκ ἀνεξομένου τοῦ ἐραστοῦ· ὁ
δὲ ἐφίησιν, καὶ τοῖς αὑτοῦ ὅπλοις κοσμεῖ, καὶ βραδύ-
νοντος περιδεῶς ἔχει, καὶ ἀποθανόντος ἀποθανεῖν ἐρᾷ,
i καὶ τὴν ὀργὴν κατατίθεται· ἐρωτικὰ δὲ καὶ τὰ ἐνύπνια,
καὶ τὰ ὀνείρατα, καὶ τὰ δάκρυα, καὶ τὸ τελευταῖον
δῶρον ἤδη θαπτομένῳ ἡ κόμη. Ταῦτα μὲν τὰ Ὁμήρου
ἐρωτικά.

IXa Ἡσιόδῳ δὲ ἀείδουσιν αἱ μοῦσαι τί ἄλλο ἢ γυναι-
κῶν ἔρωτας, καὶ ἀνδρῶν; καὶ ποταμῶν ἔρωτας καὶ
b βασιλέων καὶ φυτῶν; Τὸν δὲ Ἀρχιλόχου ἔρωτα, ὑβρι-
c στὴς γάρ, χαίρειν ἐῶ. Ὁ δὲ τῆς Λεσβίας (εἴτοι χρὴ
πρεσβύτερα τοῖς νέοις εἰκάσαι) τί ἂν εἴη ἄλλο, ἢ αὐτό,
ἡ Σωκράτους τέχνη ἐρωτική; Δοκοῦσιν γάρ μοι τὴν
καθ' αὑτὸν ἑκάτερος φιλίαν, ἡ μὲν γυναικῶν, ὁ δὲ
ἀρρένων, ἐπιτηδεῦσαι. Καὶ γὰρ πολλῶν ἐρᾶν ἔλεγον,
d καὶ ὑπὸ πάντων ἁλίσκεσθαι τῶν καλῶν· ὅ, τι γὰρ
ἐκείνῳ Ἀλκιβιάδης καὶ Χαρμίδης καὶ Φαῖδρος, τοῦτο

---

**9** ποταμῶν . . φυτῶν sq. vi. or. 21. 8 d etiam or. 11. 11 b καλὸν μὲν γὰρ sq. cf. etiam Lucian. sacr. 10 ‖ **10** τὸν Ἀρχιλόχου ἔρωτα sq. cf. Iulian. ep. 300 c Orig. c. Cels. III 125 ‖ **11** τῆς Λεσβίας . . τέχνη ἐρωτικὴ cf. Themist. 13. 170 d Plut. amat. 5 prov. 29 Plat. Phaedr. 235 b Clearch. ap. Athen. XIV 639 a

---

**8** in mge ἡσιόδου ἐρωτικὰ 10 ἀρχίλοχος 11 σαπφώ (schol. recent.) R! ‖ **17** sq. in mge ἀλκιβιάδης | χαρμίδης | φαῖδρος | γύριννα (sic) | ἀτθὶς | ἀνακτορία (sic) | πρόδικος | γοργίας | θρασύμαχος | γοργὼ | ἀνδρομέδα (schol. recent.) R!

---

**1** δακρύσαι R! δακρύσας N ‖ **2** αὐτοῦ θ corr. Markl. ‖ **6** θαπτομένῳ] καταθαπτομένῳ N α(δ) καθαπτομένῳ M φ ‖ **8** ἀείδουσιν (ει in ras.) R! ‖ **10** βασιλέων (ων in ras.) R! ἀνέμων Dav.² θαλασσῶν Markl. βοτανῶν Reiske ἄλσεων Toupius (Emendat. II p. 305) ἀσύλων Meiser cruce signavit Duebn. del. Duk. ‖ **11** ὁ δὲ] τὸ δὲ Reiske ‖ **12** ἄλλο εἴη H ‖ **12. 13** αὐτό, ἢ] αὐτοῦ M ἢ (om. αὐτὸ) α(θ) αὐτὴ ἢ Dav.² αὐτὸ <ἐκεῖνο>, ἤ? ‖ **14** καθ' αὑτὸν] κατὰ ταὐτὸ φ α(θ) corr. Reiske

τῇ Λεσβίᾳ Γύριννα καὶ Ἀτθὶς Ἀνακτορία· καὶ ὅ,τιπερ Σωκράτει οἱ ἀντίτεχνοι, Πρόδικος καὶ Γοργίας καὶ Θρασύμαχος καὶ Πρωταγόρας, τοῦτο τῇ Σαπφοῖ Γοργὼ καὶ Ἀνδρομέδα· νῦν μὲν ἐπιτιμᾷ ταύταις, νῦν δὲ ἐλέγχει, καὶ εἰρωνεύεται αὐτὰ ἐκεῖνα τὰ Σωκράτους·

τὸν Ἴωνα χαίρειν (Plat. Ion 530 a),

φησὶν ὁ Σωκράτης·

(fr. 86 Bergk) πολλά μοι τὰν
Πολυανακτίδαο παῖδα χαίρειν,

Σαπφὼ λέγει· οὐ προσιέναι φησὶν ὁ Σωκράτης Ἀλκι- e
βιάδῃ, ἐκ πολλοῦ ἐρῶν, πρὶν ἡγήσατο ἱκανὸν εἶναι πρὸς λόγους·

(fr. 34 B) σμικρά μοι παῖς ἔτι φαίνεο κἄχαρις ἔσσα . . .

Σαπφὼ λέγει· κωμῳδεῖ σχῆμά που καὶ κατάκλισιν f
σοφιστοῦ, καὶ αὕτη

(cf. fr. 70 B.) τίς δὲ ἀγροιῶτιν ἐπεμμένα στολήν . . .·

---

**13** σμικρά μοι sq. cf. Plut. amat. 5 καὶ τὴν οὔπω γάμων ἔχουσαν ὥραν ἡ Σαπφὼ προσαγορεύουσα φησὶν ὅτι σμικρά μοι, παῖ, ἔμμεναι φαίνεαι κἄχαρις ‖ **16** τίς δὲ sq. sine dubio initium fragmenti 70 (Bergk) paulo copiosius, ita ut restituendum sit illud τίς δὲ ἀγροιῶτιν ἐπεμμένα στολὴν τοὶ θέλγει νόον | οὐκ ἐπισταμένα τὰ βράκε' ἕλκην ἐπὶ τῶν σφύρων;

---

**1** ὅ,τιπερ — **5** Σωκράτους p

---

**1** Γυριννὼ Duebn. | Ἀτθὶς Ἀνακτορία (i. e. Milesia) R!N Ἀτθὶς καὶ Ἀνακτορία (quam eandem atque Anagoram esse put. Benseler lex. s. v.) cett. (δ Δ) ‖ **6** Ἴωνα (α in ras.) R! ‖ **8** τὰν Knebel (Duebn.) τὸν codd. (δ Δ°) ‖ **9** πολυανακτίδαο Hob. πολυανάκτιθα RN (ut Ἀνθίλοχος al. cf. Meringer Mayer p. 177) πολυανάκτιδα HM φ (Δ) πολυάνακτος α (δ) | χαίρην Bergk ‖ **13** σμίκρα Bergk | πάϊς Dav.[2] (Bergk) | ἔτι] ἔμμεναι Dav.[2] ἔμμεν Bergk | φαίνεαι N (man. alt.) Steph. φαίνῃ Dav.[2] ἐφαίνεο Bergk | κἄχαρις ἔσσα . . Hob. καὶ χαρίεσσα codd. (δ Δ°) καὶ μήπω χαρίεσσα Heins. κοὐ χαρίεσσα Dav.[2] (Duebn.) κἄχαρις Bergk καὶ ἄχαρις Dav.[1] ‖ **15** αὐτὴ θ ‖ **16** ἀγροιωτειν R | ἐπιειμένα (vel ἐπαμμένα) Casaubonus (in Athen. I 18. 54)

(g) Ed. Duebn. p. 100 τὸν ‖ | ἔρωτα φησὶν ἡ Διοτίμα τῷ Σωκράτει οὐ παῖδα, 87 b ἀλλὰ ἀκόλουθον τῆς Ἀφροδίτης καὶ θεράποντα εἶναι· λέγει που καὶ Σαπφοῖ ἡ Ἀφροδίτη ἐν ᾄσματι,

(fr. 74 B.) σύ τε καλὸς θεράπων Ἔρως.

Ἡ Διοτίμα λέγει, ὅτι θάλλει μὲν ἔρως εὐπορῶν, ἀποθνήσκει δὲ ἀπορῶν· τοῦτο ἐκείνη ξυλλαβοῦσα εἶπεν
b 'γλυκύπικρον' καὶ 'ἀλγεσίδωρον.' Τὸν ἔρωτα Σωκράτης
i σοφιστὴν λέγει, Σαπφὼ μυθοπλόκον. Ἐκβακχεύεται ἐπὶ Φαίδρῳ ὑπὸ τοῦ ἔρωτος, τῇ δὲ ὁ ἔρως

(fr. 42 B.) ἐτίναξεν τὰς φρένας,
ὡς ἄνεμος κατ' ὄρος δρυσὶν ἐμπεσών·

(k) ἀναίθεται τῇ Ξανθίππῃ ὀδυρομένῃ ὅτι ἀπέθνησκεν, ἡ δὲ τῇ θυγατρί·

οὐ γὰρ θέμις ἐν μουσοπόλων οἰκίᾳ θρῆνον εἶναι
οὐκ ἄμμι πρέποι τάδε.

(l) Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους

---

**16** ἡ δὲ Τηΐου .. τέχνη cf. Plut. amat. 5 Plat. Phaedr. 235 b Themist. 13. 170 d Clearch. ap. Athen. XIV 639 a

---

**5** ἔρως θάλλει μὲν εὐπορῶν, ἀποθνήσκει δ' ἀπορῶν. Διοτίμας ἀπόφθεγμα Apostolius Cent. IX 3 | θάλλει — 7 ἀλγεσίδωρον p ‖ **7** τὸν ἔρωτα — 8 μυθοπλόκον p ‖ **8** ἐκβακχεύεται — 11 ἐμπεσών p

---

**1** in mge διοτίμα (schol. recent.) R! ‖ **7** in mge γλυκύπικρον καὶ | ἀλγεσίδωρον 12 ξανθίππη (schol. recent.) R! ‖ **16** τοῦ Τηΐου σοφιστοῦ] in mge Ἀνακρέοντος (schol. vet. b) R!

---

**1** (post φησὶν) κ eras. R! ‖ **3** που in ras. R! ‖ **4** καλὸς (suprascr. μ ut videtur) R κἄμος Bergk | θεράπων (ω in ras.) R! ‖ **5** ἡ] καὶ α(δ) | ὅτι] καὶ p ‖ **6** συλλαβοῦσα p ‖ **7** γλυκύπικρον spectat ad fragm. 40 Bergk ‖ **8** Σαπφὼ ⟨δὲ⟩ μυθοπλόκον p ‖ **9** ἔρωτος (ω in ras.) R! ‖ **10** τὰς] ἔμοι Bergk ‖ **11** ὡς om. Bergk ‖ **12** ἀναίθεται (scil. ὀργῇ) Hob. ἀνάθεται R (sine acc.) MN ἀνθάπτεται φα(δ) καθάπτεται Steph. Markl. μέμφεται H(Δ) ἄχθεται Meiser sed opus erat voce poetica | τῆς Ξανθίππης Steph. Markl.

*καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν, καὶ ἐπαινεῖ πάντας· μεστὰ δὲ αὐτοῦ τὰ ᾄσματα τῆς Σμέρδιος κόμης, καὶ τῶν Κλεοβούλου ὀφθαλμῶν, καὶ τῆς Βαθύλλου ὥρας· ἀλλὰ καὶ τούτοις τὴν σωφροσύνην ὁρᾷς·*

(fr. 44 B.) *ἔραμαί τοι συνηβᾶν,*
*φησίν,*
*χαρίεν γὰρ ἔχεις ἦθος·*

*καὶ αὖθις ‘καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαια’ φησίν. Ἤδη* m
*δέ που καὶ τὴν τέχνην ἀπεκαλύψατο·*

(fr. 45 B.) *ἐμὲ γὰρ λόγων εἵνεκα παῖδες ἂν φιλοῖεν·*
*χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ’ οἶδα λέξαι.*

*Τοῦτο καὶ περὶ Σωκράτους Ἀλκιβιάδης ἔλεγεν, εἰκάζων* n
*αὐτοῦ τὴν χάριν τοῖς Ὀλύμπου καὶ Μαρσύου αὐλήμασιν. Τίς ἄν, ὦ θεοί, μέμψαιτο ἐραστὴν τοιοῦτον, πλὴν Τιμάρχου;* |

---

**2** sq. *Σμέρδιος . . Κλεοβούλου . . Βαθύλλου* vi. or. 37. 5 f vers. finem vi. etiam or. 29. 2 b et or. 20. 1 a ‖ **13** *Ὀλύμπου καὶ Μαρσύου αὐλήμασιν* cf. Lucian. adv. ind. 5 *οὐδὲ γὰρ τοὺς Μαρσύου ἢ Ὀλύμπου κτησάμενος αὐλήσειεν ἂν μὴ μαθὼν* Plat. symp. 215 c Aelian. v. hist. 13. 20 Iulian. ep. 420 c al.

---

**2** *μεστὰ* — **3** *κόμης* p

---

**2** in mge *σμέρδιος κόμη* 3 *κλεοβούλου ὀφθαλμοὶ* 4 *βαθύλλου ὥρα* (schol. recent.) R! ‖ **12** in mge *σημείωσαι ὅσα ὁ σωκράτης παρὰ ἀλκιβιάδου ἀκούει τοὺς λόγους παιδευόμενος* (schol. recentissim.) R!M (rubro colore) ‖ **13** in mge *ὄλυμπος* | *μαρσύας* | *τίμαρχος* (schol. recent.) R!

---

**4** *κἂν τούτοις* α(δ Δ) | *ὁρᾷς* Hob. *ὁρᾷ* codd. (δ) *ὅρα* Δ tacite ‖ **5** *ἔραμαί γε τοι σοι* Barnes. *ἔραμαι δέ τοι* Bergk. ‖ **6** *φησίν* om. Δ° ‖ **7** *χαρίεν*] *χαριτεῦν* Bergk | *γὰρ ἔσχες* Barnes. *ἔχεις γὰρ* Bergk ‖ **8** *εἶναι* ÷ ÷ ÷ ÷ *τῷ* R! ‖ **10** *γὰρ νέοι λόγων* Bergk | *εἵνεκα*] *ἕκητι* Barnes. | ⟨*οἱ*⟩ *παῖδες* Barnes. ‖ **11** *μὲν* (ante *γὰρ*) del. Barnes. | *ᾄδω* Valkenaer (Duebn.) *διδῶ* codd. (δ Δ°) *δίδωμι* Barnes. *διδῶ μὲν* Dav.[2] ‖ **12** *τοῦτο γὰρ* ϑ corr. Markl. *ταὐτὸ γὰρ* Reiske